Πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἔμεινε δίχα γνησίου προστάτου ὁ τῶν Ἀλεξανδρέων πατριαρχικὸς θρόνος, τούτου χάριν ἡμεῖς οἱ παρευρεθέντες τανῦν ἀρχιερεῖς εἰσελθόντες ἐν τῷ πατριαρχικῷ θείῳ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, προτροπῇ τοῦ παναγιωτάτου καὶ σοφωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου τοῦ οἰκουμενικοῦ Πατριάρχου, ἐποιήσαμεν Ψήφους κανονικὰς δι᾽ αὐτὸν τὸν ἁγιώτατον θρόνον Ἀλεξανδρίας· ἐν αἷς ἐθέμεθα πρῶτον μὲν τὸν ὑπ᾽ αὐτοῦ τε τοῦ παναγιωτάτου καὶ τοῦ ἐκεῖσε κλήρου καὶ λαοῦ ἐκλεγέντα καὶ ζητηθέντα ὁσιώτατον ἀρχιμανδρίτην ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι Κύριον Γεράσιμον· δεύτερον δὲ τὸν ὁσιώτατον πρωτοσύγγελον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς Κύριον Νεόφυτον· καὶ τρίτον τὸν ὁσιώτατον πρωτοσύγγελον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς Κύριον Δανιήλ. Ὅθεν καὶ εἰς δήλωσιν κατεστρώθησαν ἐν τῷ παρόντι ἱερῷ κώδηκι τῆς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας. Ἐν ἔτει ͵ζρχθ΄ Νοεμβρίου λ΄ Ἰνδικτιῶνος Δ΄.

† Ὁ Ἡρακλείας Τιμόθεος. † Ὁ Κυζίκου Παρθένιος. † Ὁ Νικομηδείας Διονύσιος. † Ὁ Νικαίας Παρθένιος. † Ὁ Θεσσαλονίκης Παρθένιος. † Ὁ Ἀδριανουπόλεως Παρθένιος. † Ὁ Κύπρου (;) Ἀθανάσιος. † Ὁ . . . . Ἀθανάσιος. † Ὁ Παλαιῶν Πατρῶν Θεοφύλακτος. † Ὁ Λαρίσσης Γρηγόριος. † Ὁ . . . . . † Ὁ Φιλιππουπόλεως Καισάριος. † Ὁ Βερροίας Τιμόθεος. † Ὁ Ἀγχιάλου Παρθένιος. † Ὁ Λακεδαιμονίας Ἰωάσαφ. † Ὁ Χίου Ματθαῖος. † Ὁ Φιλίππων καὶ Δράμας Κλήμης. † Ὁ Μήλου Ἀρσένιος. † Ὁ Διδυμοτείχου Παρθένιος. † Ὁ Αἴνου Δανιήλ. † Ὁ Μιτυλήνης Παρθένιος. † Ὁ . . . . . . † Ὁ Προικονήσου Κλήμης. † Ὁ Ἀγαθουπόλεως Παρθένιος. (α).

σελ. 402. Ἀθανάσιος Ῥήτωρ, ἱερεὺς Βυζάντιος, ἐγεννήθη ἐν ἔτει 1571. ἔζησε πολλὰ ἔτη ἐν Παρισίοις, ἔνθα καὶ

(α) Ἐκ Χειρογρ. τοῦ ἁγιοταφ. Μετοχίου ὑπ᾽ ἀριθ. 242.